# ΕΥΡΙΠΙΔΟΥ ΑΝΔΡΟΜΑΧΗ.

Ἀσιάτιδος γῆς σχῆμα, Θη-
βαία πόλις,
ὅθεν ποθ' ἕδνων σὺν πολυ-
χρύσῳ χλιδῇ
Πριάμου τύραννον ἑστίαν ἀφικόμην,
δάμαρ δοθεῖσα παιδοποιὸς Ἕκτορι,
ζηλωτὸς ἔν γε τῷ πρὶν Ἀνδρομάχη χρόνῳ,
νῦν δ' εἴ τις ἄλλη δυστυχεστάτη γυνὴ
ἐμοῦ πέφυκεν, ἢ γενήσεταί ποτε.
ἥτις πόσιν μὲν Ἕκτορ' ἐξ Ἀχιλλέως
θανόντ' ἐσεῖδον, παῖδά θ', ὃν τίκτω πόσει,
ῥιφθέντα πύργων Ἀστυάνακτ' ἀπ' ὀρθίων,
ἐπεὶ τὸ Τροίας εἷλον Ἕλληνες πέδον,
αὐτὴ δὲ δούλη τῶν ἐλευθερωτάτων
οἴκων νομισθεῖσ', Ἑλλάδ' εἰσαφικόμην,
τῷ νησιώτῃ Νεοπτολέμῳ δορὸς γέρας
δοθεῖσα, λείας Τρωϊκῆς ἐξαίρετον.
Φθίας δὲ τῆσδε, καὶ πόλεως Φαρσαλίας
σύγχορτα ναίω πεδί', ἵν' ἡ θαλασσία
Πηλεῖ ξυνώκει χωρὶς ἀνθρώπων Θέτις
φεύγουσ' ὅμιλον. Θεσσαλὸς δέ νιν λεὼς
Θετίδειον αὐδᾷ θεᾶς χάριν νυμφευμάτων.
ἔνθ' οἶκον ἔσχε τόνδε παῖς Ἀχιλλέως,
Πηλέα δ' ἀνάσσειν γῆς ἐᾷ Φαρσαλίας,
ζῶντος γέροντος, σκῆπτρον οὐ θέλων λαβεῖν.
κἀγὼ δόμοις τοῖσδ' ἄρσεν' ἐντίκτω κόρον,
πλαθεῖσ' Ἀχιλλέως παιδὶ, δεσπότῃ τ' ἐμῷ.
καὶ



καὶ πρὶν μὲν ἐν κακοῖσι κειμένην, ὅμως
ἐλπίς μ' ἀεὶ προσῆγε, σωθέντος τέκνου,
ἀλκήν τιν' εὑρεῖν, κἀπικούρησιν κακῶν.
ἐπεὶ δὲ τὴν λάκαιναν Ἑρμιόνην γαμεῖ,
τὸ μὲν παρώσας δεσπότης δοῦλον λέχος,
κακοῖς πρὸς αὐτῆς σχετλίοις ἐλαύνομαι.
λέγει γὰρ ὥς νιν φαρμάκοις κεκρυμμένοις
τίθημ' ἄπαιδα, καὶ πόσει μισουμένην,
αὐτὴ δὲ ναίειν οἶκον ἀντ' αὐτῆς θέλω
τόνδ', ἐκβαλοῦσα λέκτρα τἀκείνης βίᾳ,
ἃ 'γὼ τὸ πρῶτον οὐχ ἑκοῦσ' ἐδεξάμην,
νῦν δ' ἐκλέλοιπα. Ζεὺς τάδ' εἰδείη μέγας,
ὡς οὐχ ἑκοῦσα τῷδ' ἐκοινώθην λέχει.
ἀλλ' οὔ σφε πείθω. βούλεται δέ με κτανεῖν.
πατήρ τε θυγατρὶ Μενέλεως συνδρᾷ τάδε.
καὶ νῦν κατ' οἴκους ἐστ' ἀπὸ Σπάρτης μολὼν
ἐπ' αὐτὸ τοῦτο. δειματουμένη δ' ἐγὼ,
δόμων πάροικον, Θέτιδος εἰς ἀνάκτορον
θάσσω τόδ' ἐλθοῦσ', ἄν με κωλύσῃ θανεῖν.
Πηλεύς τε γάρ νιν, ἔκγονοί τε Πηλέως,
σέβουσιν ἑρμήνευμα Νηρῆδος γάμων.
ὃς δ' ἔστι παῖς μοι μόνος, ὑπεκπέμπω λάθρᾳ
ἄλλους ἐς οἴκους, μὴ θάνῃ φοβουμένη.
ὁ γὰρ φυτεύσας αὐτὸν, οὔτ' ἐμοὶ πάρα
προσωφελῆσαι, παιδί τ' οὐδέν ἐστ' ἀπὼν
Δελφῶν κατ' αἶαν. ἔνθα Λοξίᾳ δίκην
δίδωσι μανίας, ἥν ποτ' ἐς Πυθὼ μολὼν,
ᾔτησε Φοῖβον πατρὸς, οὗ τίνει δίκην.
εἴ πως τὰ πρόσθεν σφάλματ' ἐξαιτούμενος
θεὸν παράσχοιτ' ἐς τὸ λοιπὸν εὐμενῆ.

 δέσποιν'